» Ὧν ὄνομα μόνον κοινόν.

Ἰστέον ὅτι κοινὸν τετραχῶς λέγεται. Ἢ γὰρ σημαίνει τὸ μεριστὸν μὲν ἐν ἑαυτῷ ἀμέριστον, ὑπὸ πλειόνων δὲ μεθεκτὸν λεγόμενον, ὡς εἰ τύχοι τις πολλῶν δεσποτῶν δοῦλος. Ἢ τὸ διαιρούμενον, καὶ κατ' αὐτὴν τὴν διαίρεσιν ὑπὸ πολλῶν μετεχόμενον, ὡς ἀγρὸς, καὶ τὰ ὅμοια. Κατὰ τρίτον δὲ τρόπον κοινὸν λέγεται, ὃ τῷ προλαβόντι οἰκεῖον γίνεται. ὡς ὁ ἐν τῇ ἐκκλησίᾳ τόπος. Τέταρτον δὲ τὸ ἐξ ἴσου ὑπὸ πάντων μεταλαμβανόμενον, ὡς ἡ τοῦ κήρυκος φωνή. τῷ γὰρ αὐτῷ χρόνῳ ὑπὸ πάντων τῶν ἀκροωμένων πᾶσα καὶ ὁλόκληρος ἐξακούεται. ἐπὶ τοῦ παρόντος δὲ κοινὸν ἐννοεῖται τὸ ὄνομα τοῖς Ὁμωνύμοις, κατὰ τὸν τέταρτον τρόπον. πάντα γὰρ ἐξ ἴσου τῆς ὁμωνυμίας μεταλαμβάνουσι τὰ Ὁμώνυμα, καὶ ἐν τῷ αὐτῷ χρόνῳ.

Προσέτι ἰστέον ὅτι, τὸ μόνον διχῶς λέγεται, ἢ τὸ μοναδικὸν, ὡς ὅταν λέγομεν μόνον τὸν Ἥλιον, καὶ μόνην τὴν Σελήνην. ἢ τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ σύζυγον καὶ ὁμογενὲς, ὡς ὅταν λέγωμεν, χιτῶνα μόνον ἔχει, καίτοι χεῖρας καὶ πόδας ἔχοντα, ἀλλὰ μόνον λέγεται πρὸς ἀντιδιαστολὴν τοῦ συζύγου, τουτέστι τῶν λοιπῶν ἱματίων. καὶ κατὰ τοῦτο τὸ δεύτερον σημαινόμενον τὸ μόνον ἐπὶ τοῦ παρόντος ἐκλαμβάνεται, πρὸς ἀντιδιαστολὴν δηλαδὴ τοῦ ὅρου. ὅ,τε λόγος, πολλαχῶς εἴωθεν ἐν τοῖς σχολείοις ἐκλαμβάνεσθαι. ἐνταῦθα δὲ ἀντὶ τοῦ ὁρισμοῦ εἴληπται. τὸν δὲ ὁρισμὸν ἀκουστέον κοινότερον ἀντὶ τῆς ὑπογραφῆς. κατὰ τοὔνομα δὲ κεῖται ἐν τῷ λόγῳ τῶν ὁμωνύμων, ἐπειδὴ ὡς εἴρηται κατὰ διαφόρους προσηγορίας, τὰ αὐτὰ ὁμώνυμα καὶ συνώνυμα εἶναι δύναται. χρὴ οὖν ἐννοεῖν τὸν ὅρον ἐπὶ τῶν Ὁμωνύμων, καθόσον κοινωνεῖ τοῦ αὐτοῦ ὀνόματος, κατὰ δὲ τὴν σημαινομένην φύσιν ἀπὸ τοῦ κοινοῦ ὀνόματος διαφέρειν. οἷον φέρε εἰπεῖν ζῶον ὁμωνύμως, ὅτε ἄνθρωπος λέγεται, καὶ τὸ γεγραμμένον. κατὰ δὲ τὴν σημαινομένην οὐσίαν τῷ τοῦ ζώου ὀνόματι, ἕτερόν ἐστι τὸ γεγραμμένον, τοῦ ἀνθρώπου. κατὰ τοῦτο γὰρ οὐδὲν ἐστι κοινὸν αὐτοῖς πλὴν τοῦ ὀνόματος. καθὸ μέντοι ἑτέρῳ ὀνόματι προσαγορεύεται, οὐκ ἀναγκαίως σώζεται ἡ ὁμωνυμία. οἷον καθὸ (1) δίπηχυ, ἢ τρίπηχυ ἑκάτερον τούτων. ἢ ὡς ὁ χερσαῖος κύων, εἰ μὲν μετὰ τοῦ θαλαττίου συγκρίνοιτο, καθὸ τῷ τοῦ κυνὸς ὀνόματι σημαίνεται, ὁμώνυμός ἐστιν ἐκείνῳ, καθὸ δ'



(1) Ἤτοι ὁ ζῶν καὶ ὁ γεγραμμένος, καθὸ ἑκάτεροι τυχὸν εἰσὶ δίπηχεις ἢ τριπήχεις συνώνυμοί εἰσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ζῶον συνώνυμος. οὐσίας δὲ εἴρηται, οὐ καθόσον τῶν συμβεβηκότων ἀντιδιαστέλλεται. τὰ γὰρ ὁμώνυμα, οὐ μόνον ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ θεωρεῖται, ἀλλὰ καὶ ἐν τοῖς συμβεβηκόσιν, οἷον τὸ ὀξὺ ὅπερ ὁμωνύμως λέγεται κατά τε τῆς ὀξείας φωνῆς, καὶ τῆς ὀξείας μαχαίρας. διὸ δῆλον ὡς τὴν οὐσίαν ὁ Ἀριστοτέλης κοινότερον ἐνταῦθα ἐνόησεν, ἐφ' ὅσον καὶ ἐπὶ τῶν συμβεβηκότων ἐκτείνεται, τῶν καὶ ταῦτα λόγους ἔχειν τρόπον τινὰ οὐσιώδεις, ὡς τὴν ἐκείνων ὕπαρξιν ὑποδηλοῦντας. ἄλλως γὰρ ἐλλειπὴς ἂν εἴη ὁ ὁρισμὸς τῶν Ὁμωνύμων.

## Τί τὸ ὁριζόμενον ἐν ἑκάστῳ τῶν Συνωνύμων, Ὁμωνύμων, καὶ Παρωνύμων.

Ζητεῖται κοινότερον παρὰ τοῖς νεωτέροις τί ποτε ὁρίζεται ὁ Φιλόσοφος ἐν τοῖς ἐκδοθεῖσιν ἐνταῦθα ὁρισμοῖς, πότερον τὰ πράγματα, ἢ τὰ ὀνόματα τῶν πραγμάτων; τῶν δὲ νεωτέρων οἱ πολλοὶ ὑποκείμενον τῆς λογικῆς πραγματείας, περὶ ὃ καταγίνεται, τὰς δευτέρας σχέσεις ὑποτιθέμενοι, ἃς καὶ κατ' ἐπίνοιαν ὂν ὑπολαμβάνουσι, τὰς φωνὰς ἐνταῦθα βούλονται καθὸ σημαντικὰς ὁρίζεσθαι. τὰς γὰρ σχέσεις τῶν σημαινουσῶν φωνῶν πρὸς τὰ σημαινόμενα πράγματα, τῆς ἐπινοίας ἀναπλάσματα εἶναι νομίζουσι. καὶ οὕτω συνάγουσι τὸ ὁριζόμενον ἐνταῦθα εἶναι τὸ κατ' ἐπίνοιαν ὄν. συμπεραίνουσιν αὐτὸ καὶ ἐκ τῆς σφῶν αὐτῶν ὑποθέσεως. ὁρίζεται γὰρ ἕκαστος τῶν ἐπιστημόνων τοῦτο αὐτὸ ὃ θεωρεῖ, καὶ καθ' ὃν θεωρεῖ τρόπον. ἀλλὰ τὸ θεωρούμενον κατ' ἐκείνους ἐν τῇ λογικῇ πραγματείᾳ ἐστὶ τὸ κατ' ἐπίνοιαν ὄν, τοῦτο ἄρα καὶ ὁρίζεται.

Δεύτερον συνάγουσιν αὐτὸ τοῦτο διαιρέσει χρώμενοι τῶν Ὁμωνύμων, Συνωνύμων, καὶ Παρωνύμων, τοιᾷδε. φασὶ γὰρ τὰ μὲν εἶναι Ὁμώνυμα ὁμωνυμοῦντα, τὰ δὲ Ὁμώνυμα ὁμωνυμωτά. ἐννοοῦσι δὲ Ὁμώνυμα ὁμωνυμοῦντα τὰς φωνάς, ἃς καὶ ὡς εἴδη συστατικὰ τῶν Ὁμωνύμων τίθενται. Ὁμώνυμα δὲ ὁμωνυμωτὰ αὐτὰ καλοῦσι τὰ πράγματα, ἃ καὶ ὕλης λόγον πως ἔχειν πρὸς τὰς φωνὰς οἴονται. ἐντεῦθεν δὲ συνάγουσι τὸ βουλόμενον οὕτως.

Ὁ ὁριστικὸς ἑκάστου λόγος ἀποδίδοται κατὰ τὸ εἶδος ἑκάστου. ἐπὶ τῶν Ὁμωνύμων, Συνωνύμων, καὶ Παρωνύμων, εἶδος εἰσὶν αἱ φωναὶ κατὰ τὴν σχέσιν τῆς σημασίας. αἱ φωναὶ ἄρα κατὰ τὴν σημαντικὴν σχέσιν ὁρίζονται.

Τρίτον ὅτι τὸ ὁριζόμενον κατά τινα πάντως κοινὸν ὁρίζεται λόγον, οὗ καὶ δηλωτικὸς γίνεται ὁ ὁρισμός. τὰ δὲ Ὁμώνυμα πράγματα διάφορα εἰσί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡ.Δ.της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰσὶ, καὶ οὐδὲ κοινὸν ἔχει λόγον, ὡς ἐν τῷ ὁρισμῷ εἴρηται. οὐκ ἔστιν ἄρα ταῦτα ὁρισθῆναι, ἀλλὰ τὸ κατ' ἐπίνοιαν ὄν, ἤγουν αἱ φωναὶ καθόσον σημαντικαί, ὅπερ ἐστὶν εἶδος καὶ τοῦ αὐτοῦ λόγου. Συνάγουσιν αὐτὸ τοῦτο καὶ ἀπὸ τῆς λέξεως τοῦ Φιλοσόφου. προλαμβάνει γὰρ τοὔνομα ἐν πᾶσι λέγων· ἐν μὲν τοῖς Ὁμωνύμοις, καὶ Συνωνύμοις, ὧν ὄνομα μόνον κοινὸν, ἐπὶ δὲ τῶν Παρωνύμων, ὅτι ἔχει τὴν τοῦ ὀνόματος προσηγορίαν. δῆλον ἄρα ὅτι τὰ ὀνόματα μᾶλλον ὁρίζεται ὁ Φιλόσοφος ἐν ταῖς εἰρημέναις ὑπογραφαῖς, ἢ τὰ πράγματα.

## Ἀνατροπὴ τῆς ἐκτεθείσης δόξης.

Ἀλλὰ τούτοις πολλὰ ἀντενεχθῆναι ἐστὶν, ὧν οὐ ῥᾳδία γίνεται ἡ ἐπίλυσις. καὶ Πρῶτον, ὁ σκοπὸς τοῦ Φιλοσόφου ἐν τοῖς τοιούτοις ὁρισμοῖς, ἐστὶ παραδοῦναι ἡμῖν γνῶσιν πραγμάτων, τίνα δηλαδὴ τρόπον διανέμεται τὰ ὄντα, καὶ τάττεται ἐν ταῖς κατηγορίαις. παραδίδωσι γὰρ τὸν ὁρισμὸν τῶν Ὁμωνύμων, ἵνα δηλώσῃ τὸν τρόπον τῆς διανομῆς τοῦ ὄντος εἰς τὰ δέκα γενικώτατα Γένη, καὶ ὅτι τὰ ὄντα καθὸ Ὁμώνυμα, οὐ τάττεται ἐπὶ τῆς αὐτῆς κατηγορίας, ἀλλὰ καθὸ Συνώνυμα. ἀντεπιπίπτει ἄρα τῷ οἰκείῳ σκοπῷ ὁ Φιλόσοφος ὁριζόμενος ὀνόματα, ὧν ἡ γνῶσις οὐδὲν συμβάλλεται τῇ οἰκείᾳ προθέσει.

Δεύτερον, ἐκεῖνο ἐστὶ τὸ ὁριζόμενον ἐν ἑκάστῳ τῶν ὁριστικῶν λόγων, ὅπερ ἀναπτύσσει, καὶ καθ' οὗ κατηγορεῖται ὁ ὁρισμός· ἀλλ' ὁ τῶν Ὁμωνύμων ὁρισμὸς, οὔτε ἀναπτύσσει, οὔτε κατηγορεῖται τοῦ ὀνόματος τῶν Ὁμωνύμων, οὐκ ἔστιν ἄρα ὁριζόμενον τὸ ὄνομα, ἢ τὸ κατ' ἐπίνοιαν ὄν. Δείκνυται ἡ ἐλάττων. εἴρηται γὰρ ἐν τῷ ὁρισμῷ τὸ μὲν ὄνομα κοινὸν ἔχειν, διαφόρους δὲ τοὺς κατὰ τὴν οὐσίαν λόγους· τὸ δὲ ὄνομα, ἤγουν ἡ κατ' ἐκεῖνο σχέσις, οὐκ ἔστι τὸ ἔχειν ὄνομα κοινὸν, καὶ τοὺς λόγους τῆς οὐσίας διαφόρους, ἀλλὰ τὰ πράγματα. οὐκ ἄρα τὰ ὀνόματα ἢ ἡ σχέσις ὁρίζεται, ἀλλὰ τὰ πράγματα, ἃ καὶ δηλοῦται τῷ ἀποδοθέντι λόγῳ, καὶ καθ' ὧν ὁ αὐτοὺς λόγος κατηγορεῖται.

Τρίτον, τὰ Ὁμώνυμα πολλὰ δέον εἶναι. οὐ γὰρ αὐτὸ ἑαυτῷ τὶ ὁμώνυμον εἶναι δύναται, ἀλλὰ πρὸς ἄλλο, ὅθεν καὶ ἐν πληθυντικῷ ὁρισμῷ τῷ Φιλοσόφῳ ὥρισται. τὸ δὲ τῶν Ὁμωνύμων ὄνομα, ἤγουν ἡ σχέσις ἕν τι ἐστὶν, ὅθεν οὐδὲ κυρίως λέγεται ὁμώνυμον, ἀλλ' ὄνομα Ὁμωνύμων.

Παρὰ ταῦτα ἐν τῷ ὁρισμῷ (1) λέγεται, τοῦ ὁριζομένου διαφόρους

εἶναι

(1) Τῶν Ὁμωνύμων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἶναι τοὺς λόγους. τὸ ὄνομα δὲ τὸ ὂν οὐ δύναται διαφόρους ἔχειν λόγους: τὸ ὄνομα ἄρα, εἴτουν τὸ κατ' ἐπίνοιαν ὄν, ὅπερ ἐστὶν τὸ, ἀδύνατον γίνεσθαι ὁριζόμενον ἐν τῷ ἀποδοθέντι λόγῳ. ὁρίζεται τοιγαροῦν τὰ πράγματα, οὐ κατὰ τὴν οἰκείαν ἑκάστου οὐσίαν, ἀλλ' ἧπερ κοινωνοῦντα τῷ ὀνόματι, διαφέρουσι κατὰ τὴν οὐσίαν. καὶ τοῦτο κοινόν ἐστι πᾶσι τοῖς ὁμωνύμοις, ὥσπερ τοῖς συνωνύμοις τὸ κατ' ἄμφω κοινωνεῖν ἀλλήλοις, τό, τε ὄνομα καὶ τὴν οὐσίαν. τὸ τελευταῖον ἐπὶ παντὸς ὁριστικοῦ λόγου, ὁριζόμενόν ἐστι, τὸ πρὸ τοῦ ἐστὶ συνδέσμου τιττόμενον κατὰ πτῶσιν εὐθεῖαν, ἢ ἑνούμενον. γίνεται γὰρ τὸ ὁριζόμενον ἐν τῷ ὁριστικῷ λόγῳ ὑποκείμενον, καθ' οὗ ὁ ὁρισμὸς κατηγορεῖται. ἀλλ' ἐν τῷ ἀποδοθέντι λόγῳ οὐ τὸ ὄνομα, ἀλλὰ τὰ πράγματα ἑνοοῦνται τιττόμενα κατ' εὐθεῖαν πτῶσιν πρὸ τοῦ ἐστὶ συνδέσμου. λέγεται γὰρ, Ὁμώνυμά εἰσι (δηλαδὴ τὰ πράγματα) ὧν ὄνομα μόνον κοινὸν, καὶ τὰ ἑξῆς. τὰ πράγματα ἄρα εἰσὶ τὰ ὁριζόμενα ὃν τρόπον εἴρηται.

## Λύσις τῶν ἐπιχειρημάτων τῆς προληφθείσης δόξης.

Τὸ μὲν πρῶτον ἐκείνοις προχειρισθὲν ἐπιχείρημα, μικρὰ, ἢ οὐδὲν δύναται πρὸς τοὺς μὴ ἀποδεχομένους τὰς ὑποθέσεις αὐτῶν. πρὸς τὸ δεύτερον αἰτιατία ἐστὶν ἡ διαίρεσις τῶν ὁμωνύμων, καθ' ἣν ὑποτιθέασι, τὰ μὲν ὁμώνυμα εἶναι ὁμωνυμοῦντα, τὰ δὲ ὁμώνυμα ὁμωνυμοτά. μόνα γὰρ τὰ πράγματα εἰσὶ κυρίως Ὁμώνυμα. ἡ δὲ φωνὴ εἴτουν τοὔνομα, οὐκ ἄλλως λέγεται ὁμώνυμος, ἢ καθόσον ἀπονέμεται τοῖς ὁμωνύμοις πράγμασι, καὶ ἐστὶν ἐκείνοις κοινόν. ὁμοίως καὶ ὅ φασιν, ὅτι τὸ κοινὸν ὄνομα ἐστὶν εἶδος τῶν Ὁμωνύμων. οὐ γὰρ συνίσταται τὰ Ὁμώνυμα ἧπερ εἰσὶν Ὁμώνυμα τῷ λόγῳ τῆς κοινότητος τοῦ ὀνόματος. ἦσαν γὰρ οὕτω καὶ τὰ Συνώνυμα ὁμώνυμα. κοινὸν γὰρ κἀκείνων τὸ ὄνομα. ἀλλ' ἡ ἑτερότης τῶν λόγων, ἐστὶ μᾶλλον συστατικὴ τῆς οὐσίας τῶν Ὁμωνύμων.

Πρὸς τὸ τρίτον εἴρηται ἤδη, ὅτι τὰ Ὁμώνυμα οὐχ ὑπογράφονται, κατὰ τὸν ἴδιον ἑκάστου τῆς οὐσίας λόγον, ἀλλὰ τοὐναντίον, ἧπερ διαφόρων εἰσὶ λόγων ὁριστικῶν, τοῦ αὐτοῦ τετυχηκότα ὀνόματος, καὶ τοῦτο κοινὸν τοῖς ὁμωνύμοις. συνωνύμως γὰρ ἔχουσι τὸ εἶναι Ὁμώνυμα. ὅσα τῆς αὐτῆς τάξεως καὶ σημασίας εἰσὶν, ὡς τὰ ὁμώνυμα ἀπὸ τύχης, ἢ ἀπὸ διανοίας, καὶ ὅσ' ἄλλα.

Ὁ σκοπὸς δὲ τοῦ Φιλοσόφου δεδήλωται ἡμῖν ἀνωτέρω, ἐφ' ᾧ διϊσχυρίζονται, ὅτι προλαμβάνει τὰ ὀνόματα ἐν τοῖς ἀποδοθεῖσι λόγοις. τοῦτο

δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΟΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΤΕΤΖΟΓΛΟΥ
Ε. Λ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ ποιεῖ ὁ Φιλοσόφος, ὅτι ὁρίζεται τὰ πράγματα ὡς ὑπὸ φωνῶν σημαινόμενα, ἤπερ διαφόρων οὐσιῶν ὄντα τῷ αὐτῷ ὀνόματι προσαγορεύεται. Θεωρεῖται γὰρ ὡς πολλάκις εἴρηται τοῖς λογικευομένοις τὰ πράγματα, καθὸ ἐννοούμενα σημαίνονται διὰ φωνῶν.

## Ἀπορία.

Εἰώθασιν ἐνταῦθα οἱ νεώτεροι ἀπορεῖν, τίνα τρόπον ἐπὶ τοῦ ἀποδοθέντος ὁρισμοῦ τῶν Ὁμωνύμων ἐννοεῖται ἓν εἶναι τὸ ὄνομα. τὸ γὰρ ἓν εἶναι ἑκάστου ἀπὸ τοῦ εἴδους λαμβάνεται, τὸ δὲ εἶδος τοῦ ὀνόματος, ἐστὶν ἡ σημασία τοῦ αὐτοῦ. ἐπεὶ τοιγαροῦν πολλὰ σημαίνει τὸ τῶν Ὁμωνύμων ὄνομα, ἑπόμενον ἐστὶ μὴ ἓν εἶναι, ἀλλὰ πολλὰ κατὰ τὸ πλῆθος τῶν σημαινομένων ὑπ᾽ αὐτοῦ.

## Ἀπάντησις.

Ἀπαντῶσι τινὲς αἱρουμένοι τὴν μείζονα. φασὶ γὰρ ἐπὶ τῶν ἐνύλων συνθέτων εἴτε καθ᾽ αὑτὸ, εἴτε κατὰ συμβεβηκὸς συνθέτα ὦσι, τὸ ἓν ἀριθμῷ εἶναι κατὰ τὴν ὕλην, ἀλλ᾽ οὐ κατὰ τὸ εἶδος ληπτέον, ὅθεν εἰ καὶ πολλαί εἰσιν αἱ σημασίαι τοῦ ὀνόματος τῶν Ὁμωνύμων, (ἐπειδὴ ἓν ἐστὶ τὸ ὑποκείμενον τῶν τοιούτων σημαντικῶν φωνῶν, δηλονότι ἡ φωνὴ) οὐκ εἰσὶ πολλὰ τὰ ὀνόματα, ἀλλ᾽ ἓν μόνον.

Ἀλλὰ τούτων ἀληθὴς μὲν ἡ ὑπόθεσις, ὅτι τὸ ἓν ἀριθμῷ εἶναι, ἢ πολλὰ ἐπὶ τῶν ἐνύλων, μάλιστα τῶν ἐν γενέσει, ἀπὸ τῆς ὕλης ληπτέον, οὐ μὴν ὑγιῶς ἑρμηνεύουσι τὴν τοῦ ὀνόματος φύσιν. ἕπεται γάρ κατ᾽ αὐτοὺς πολλὰ εἶναι τὰ εἴδη τοῦ ὀνόματος τῶν Ὁμωνύμων, ὁμοίως οὐσιώδη καὶ συστατικά. Ὅθεν συνέβαινε πολλὰ ὀνόματα εἶναι κατ᾽ οὐσίαν τὸ τῶν Ὁμωνύμων ὄνομα, ἓν δὲ μόνον κατὰ τὴν ὕλην. ἐστι γὰρ τοὔνομα σημαντικὴ φωνή. ὅθεν πολυπλασιαζομένης τῆς σημασίας, πολυπλασιασθήσεται καὶ τοὔνομα. τοῦτο δὲ ὅτι ἄτοπον πρόδηλον. οὐ γὰρ ἔχει φύσιν πολλὰ εἶναι εἴδη ὁμοίως οὐσιώδη ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἀριθμῷ.

## Ἀπάντησις, Δευτέρα.

Ἕτεροι δὲ ἀπαντῶντες φασὶν εἶδος μὲν εἶναι τοῦ ὀνόματος, τὸν σχηματισμὸν τῆς φωνῆς, τὴν δὲ σημασίαν μὴ εἶδος, ἀλλὰ πλειό-

τά τι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Β.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τά τινα εἶναι παρεπομένην τῷ ὀνόματι, ἥτις καὶ πολυπλασιασθεῖσα, οὐ πολυπλασιάζει τοὔνομα. δύναται γὰρ τοῦ αὐτοῦ ὀνόματος πολλὰς εἶναι τὰς σημασίας, ὥσπερ τοῦ αὐτοῦ φυσικοῦ συνθέτου πολλαὶ εἰσὶν αἱ τελειότητες.

Ἀλλ' ἔστιν εἰπεῖν πρὸς τοὺς ἀπαντῶντας οὕτως, ὅτι ἀναιρουμένης τῆς τελειότητος, οὐκ ἀναιρεῖται τὸ οὗ ἐστὶ τελειότης, ἀναιρουμένης δὲ τῆς σημασίας τοῦ ὀνόματος, ἀναιρεῖται τοὔνομα. οὐ γὰρ διαμένει ἔτι φωνὴ σημαντική, καὶ τὰ ἑξῆς.

## Ἀπάντησις Τρίτη.

ὈΡθότερον ἄρα φάναι ἐστὶν, ὅτι διττὴ ἐστὶν ἡ τοῦ ὀνόματος θεωρία. Ἢ γὰρ ὡς φωνὴ μόνον θεωρεῖται οὕτως, ἢ ἐκείνως ἐσχηματισμένη, Ἢ μετὰ τῆς σημασίας. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον οὐκ ἂν ῥηθείη ὄνομα κυρίως. κατὰ δὲ τὸν δεύτερον κυρίως λέγεται ὄνομα. τὴν δὲ σημασίαν φαμὲν, μὴ εἶδος εἶναι τῆς φωνῆς τοιῶσδε ἐσχηματισμένης, ἀλλὰ τέλος ἴδιον εἶναι τῆς αὐτῆς, καθὸ καὶ ὄνομα προσαγορεύεσθαι ἔσχηκε. καὶ ὥσπερ πολλὰ τῶν μέσου τινὸς τάξιν ἐχόντων, καὶ ὑπὸ τοῦ τέλους προσαγορευόμενα ἀποτυχόντα τοῦ τοιούτου τέλους, συναποβάλλουσι καὶ τὴν προσηγορίαν, ἣν ἀπ' ἐκείνου ἐσχήκασι, διασώζουσι μέντοι, ἣν ὑπὸ τοῦ οἰκείου εἴδους καὶ τῆς ὕλης ἑνότητα ἔχουσιν. ὡσαύτως τοιγαροῦν καὶ τὰ ὀνόματα, ἐπειδὴ φωναί εἰσιν ἐπὶ τὸ σημαίνειν τεταγμέναι, ἀναιρεθείσης τῆς σημασίας αὐτῶν, ἀναιρεῖται μὲν καὶ ἡ ὁμωνυμία, ἣν ἀπὸ τοῦ τοιούτου τέλους ἐσχήκασι, διασώζεται μέντοι ἀπ' αὐτῆς ἡ ἑνότης ἐκείνη, ἣν κατὰ τὴν οἰκείαν ὕλην, δηλαδὴ τὴν φωνὴν, καὶ τὸν κατ' ἐκείνην σχηματισμὸν ἔχουσιν. ἔστι γὰρ τοὔνομα συνθετόν τι τεχνικὸν, τεταγμένον ἐπὶ τὸ σημαίνειν ὡς ἐπὶ τέλος οἰκεῖον.

Ῥητέον οὖν πρὸς τὴν ἀπορίαν, ὅτι ἡ μὲν σημασία τοῦ ὀνόματος τῶν Ὁμωνύμων πολυπλασιάζεται κατὰ συμβεβηκὸς, καί τοι καθ' αὑτὸ οὖσα μία, ὃν τρόπον καὶ τὸ τέλος τοῦ τεχνητοῦ, οἷον τοῦ πελέκεως. ἐστὶ μὲν οὖν καθ' αὑτὸ ῥηγνύναι φέρε εἰπεῖν ξύλα, χρώμεθα δὲ τούτῳ οὐ μόνον ἐπὶ τὸ σχίζειν ξύλα, ἀλλὰ καὶ πρὸς τοὺς ἀντιπάλους, καὶ πρὸς ἑτέρας χρήσεις, διαμένοντι οὐδὲν ἧττον ἑνὶ καὶ τῷ αὐτῷ.

Τούτων οὕτω προληφθέντων, κἀκεῖνο δέον εἰδέναι, ὅτι ἡ διαίρεσις τῶν Ὁμωνύμων εἰς Ὁμώνυμα ὁμωνυμοῦντα, καὶ Ὁμώνυμα ὁμωνυμούμενα, οὐ μόνον κατὰ τῆς Φιλοσοφίας μάχεται, ἀλλὰ καὶ τῶν τῆς Γραμματικῆς

κανό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Π.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κανόνων. πῶς γὰρ τὰ ὀνόματα ὁμώνυμα κληθῆναι δύναιντο, ἕτερον κοινὸν οὐκ ἔχοντα ὄνομα, δι' οὗ σημαίνοιντο; ὅπερ εἰ καὶ δοθήσεται καὶ κατ' αὐτοῦ ὁμοίως εἰρήσεται, καὶ καθ' ἑξῆς εἰς ἄπειρον. πῶς δὲ καὶ γραμματικοὶ τοῦτο συγχωρήσειαν, ἀριθμῷ ἑνικῷ ἐστιαστικοῦ ὀνόματος ἐπίθετον πληθυντικὸν ἁρμοσθῆναι; φησὶ γὰρ ἐν τῷ ὅρῳ ὧν τὸ ὄνομα, οὐ τὰ ὀνόματα.

Προσέτι ἰστέον ὅτι τοῖς κυρίως ὁμωνύμοις, τρία ἐξ ἀνάγκης ἀπαιτεῖται. Πρῶτον ὅτι τὰ ὄντα κατὰ τὸ πρᾶγμα πλείονα, κοινὸν ὄνομα κατ' αὐτῶν ἔχειν. Δεύτερον ἵνα διαφόρους κατὰ τὸ πρᾶγμα ὅρους ἔχωσι. Τρίτον τὸ τὸν ὅρον διάφορον αὐτοῖς ἐναρμόττειν, καθὸ τοιούτῳ σημαίνονται ὀνόματι.

## Περὶ Συνωνύμων.

„ Συνώνυμα δὲ λέγεται ὧν τό,τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα
„ λόγος τῆς οὐσίας ὁ αὐτός. οἷον ζῶον ὅ,τε ἄνθρωπος καὶ ὁ βοῦς.
„ τούτων γὰρ ἑκάτερον κοινῷ ὀνόματι προσαγορεύεται, καὶ ὁ λόγος δὲ
„ τῆς οὐσίας ὁ αὐτός.

Ὁρίζεται καὶ ἐπὶ τῶν Συνωνύμων, ὥσπερ καὶ ἐπὶ τῶν Ὁμωνύμων εἴρηται, τὰ πράγματα, ὅσα τῆς αὐτῆς οὐσίας ὄντα, ὀνόματι κοινῷ σημαίνεται, κατὰ τὴν κοινὴν αὐτῶν φύσιν. ὅθεν καὶ συνώνυμα προσαγορεύεται. Ὁρίζεται δὲ καθὸ τῷ αὐτῷ ὀνόματι σημαίνεται. οὐ γὰρ δήπου τὰ πράγματα κατὰ τὰς ἰδίας αὐτῶν φύσεις δηλοῦται. ὁρίζεται δὲ καὶ ταῦτα ὁμοίως ἐπ' ἀριθμοῦ πληθυντικοῦ, ὅτι οὐδὲν αὐτὸ ἑαυτῷ συνώνυμον λέγεται, ἀλλ' ἑτέρῳ τοῦ αὐτοῦ γένους ἢ εἴδους ὄντι. ὁ δὲ λόγος κἀνταῦθα ἐννοεῖται οὐκ ἀντὶ τοῦ κυρίου ὁρισμοῦ τοῦ ἐκ γένους ἰδίου καὶ συστατικῆς διαφορᾶς συνεστηκότος, ἀλλ' ἀνθ' οἱασοῦν (1) ὑπογραφῆς, καὶ οὐ μόνον ἐπὶ τῶν κατ' οὐσίαν συνωνύμων, ὡς ζῶον ὁ ἄνθρωπος καὶ ὁ βοῦς, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ συμβεβηκός. εἰσὶ γὰρ πολλὰ καὶ τῶν συμβεβηκότων ἀλλήλοις Συνώνυμα, ὅσα τυγχάνει ὄντα ὁμογενῆ, ἢ ὁμοειδῆ.

Αἱ δὲ λέξεις καὶ ἐπὶ τῆς τῶν Συνωνύμων ὑπογραφῆς τὸν αὐτὸν τρόπον ἐκληπτέαι, ὡς καὶ ἐπὶ τῶν Ὁμωνύμων εἴρηται, κατ' ἐκεῖνο μόνον διαφέρουσαι,

V σαι,

(1) { Ἢ ἐκ γένους καὶ συνδρομῆς διαφόρων συμβεβηκότων,
Ἢ ἐκ τινος γένους χῶραν ἔχοντος, καὶ συστατικῆς διαφορᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σαι, ὅτι τῶν Συνωνύμων οὐ μόνον τὸ ὄνομα ὑπάρχει κοινὸν, ἀλλὰ καὶ ὁ λόγος τῆς οὐσίας ὁ αὐτός. οὐσίωται γὰρ τὰ Συνώνυμα δυσὶ τούτοις, τῷ τε κοινωνεῖν τοῦ αὐτοῦ ὀνόματος, καὶ προσέτι τοῦ λόγου, τοῦ κατὰ τὸ κοινὸν ὄνομα ἀποδιδομένου. τῶν Ὁμωνύμων μόνον ἐχόντων τὸ ὄνομα κοινὸν, διαφερόντων δὲ τοῖς κατὰ τὸ κοινὸν ὄνομα λόγοις. ἐχρήσατο δὲ τῷ αὐτῷ παραδείγματι ὁ Φιλόσοφος ἐνταῦθα, ὥπερ ἐπὶ τῶν Ὁμωνύμων, ἵνα δηλώσῃ ὅτι τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο ἀναφερόμενον, Ὁμώνυμον εἶναι δύναται καὶ Συνώνυμον. τὸ γὰρ ζῶον ὁμωνύμως μὲν λέγεται κατὰ τοῦ ἀληθοῦς ἀνθρώπου, καὶ τοῦ γεγραμμένου, συνωνύμως δὲ κατὰ τοῦ ἀνθρώπου καὶ βοός.

## Ἀπορία.

ΠΡὸς τούτοις ἔχοι ἄν τις ἀπορῆσαι, ὅτι τὰ εἰρημένα καὶ τοῖς Παρωνύμοις ὁμοίως προσήκει. τὸ γὰρ κεχρωσμένον παρώνυμον ὂν ἀπὸ τοῦ χρώματος, οὐδὲν ἧττον κατὰ τῶν ἐπὶ μέρους κεχρωσμένων συνωνύμως λέγεται. τὰ γὰρ καθ' ἕκαστα κεχρωσμένα τοῦτε αὐτοῦ ὀνόματος μετέσχηκε, καὶ τὸν λόγον ἔχει ἥπερ εἰσὶ κεχρωσμένα.

Ἀλλὰ πρὸς ταῦτα ἀπαντῆσαι οὐ χαλεπόν. οὐ γὰρ ἄτοπον ἓν καὶ τὸ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο συνώνυμον λέγεσθαι, καὶ παρώνυμον, ὥσπερ καὶ ὁμώνυμον, καὶ συνώνυμον. τὸ γὰρ γραμματικὸν πρὸς τὴν γραμματικὴν ἀναφερόμενον ἐξ ἧς παρωνόμασαι, παρώνυμον λέγεται. πρὸς ἕτερον δὲ παραβαλλόμενον, συνώνυμον οὐκ ἀπεικότως λέγεται. ὁμοίως οὖν ἔχει καὶ ἐπὶ τοῦ κεχρωσμένου, καὶ ἄλλων πολλῶν.

Κἀν τοῖς ῥήμασι θεωρεῖται ἡ συνωνυμία, ὥσπερ καὶ ὁμωνυμία. τὸ γὰρ ἀλλοιοῦν, ῥῆμα συνώνυμόν ἐστι. λέγεται γὰρ ἀλλοιοῦν καὶ ὁ λευκαίνων, καὶ ὁ μελαίνων, καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχεται, δηλαδὴ ἀρχὴν ἔχειν ἐν ἑαυτῷ μεταβλητικὴν, εἰς ἄλλο ἢ ἄλλο, ὅπερ ἁρμόζει ἐπ' ἀμφοτέρων.

## Ἀπορία.

Ἀπορούσι τινὲς λέγοντες τὸν συγκύπτοντα ἄνθρωπον μὴ εἶναι συνώνυμον τοῖς λοιποῖς, ἅτε μὴ ἄνω ὁρῶντα. εἰ γὰρ τέλος ἐστὶν ἡ σημασία τῶν ὀνομάτων, ὡς τοῦ ἄνθρωπος ὀνόματος, τέλος ἔχοντος τὸ ση-

μαί-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μαίνειν τὸ ἄνω ὁρᾶν, ὁ δὲ συγκύπτων οὐχ ὁρᾷ ἄνω, ὥστε οὐδὲ ἄνθρωπος δύναται λέγεσθαι.

## Λύσις.

Τοῦτο ἐξ αὐτοῦ τοῦ προβλήματος ἐπιλύεται. ὡς γὰρ καὶ ἀνωτέρω ἐλέγετο, ὅτι τὰ μέσου τινός, ἢ ὀργάνου τάξιν ἔχοντα, εἰ καὶ τὸ τέλος ἀποβάλλωσιν, οὐ μὴν ὕλην καὶ τὸ εἶδος ἀποβαλοῦνται, οὕτω κἀνταῦθα. εἰ γὰρ ὁ ἄνθρωπος τὸ ὁρᾶν ἄνω ἀπεβάλλετο διὰ τὸ συγκύπτειν, καὶ διὰ τοῦτο μὴ κυρίως σημαίνεσθαι, ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος, ἀλλὰ τὸ εἶδος οὐχ ἧττον ἐν ἑαυτοῖς σώζουσι, τό, τε ὄνομα, καὶ τὸ ὑποκείμενον τῷ ὀνόματι, δηλαδὴ ὁ ἄνθρωπος.

## Ὅρος τῶν Παρωνύμων.

„ Παρώνυμα δὲ λέγεται, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν
„ κατὰ τοὔνομα προσηγορίαν ἔχει. οἷον ἀπὸ τῆς γραμματικῆς ὁ
„ γραμματικός, καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος.

Μετὰ τὴν διδασκαλίαν τῶν Ὁμωνύμων καὶ Συνωνύμων, ὁ Ἀριστοτέλης ἐνταῦθα ἐκτίθησι τὸν τῶν Παρωνύμων ὁρισμόν, ὅτι χρήσιμος ἡ τούτων γνῶσις, διὰ τὸ τὴν οὐσίαν ὡς ἔφημεν παρωνύμως λέγεσθαι ἀπὸ τῶν συμβεβηκότων. τοῦτο δὲ ἔσχατον συμβαίνει τῶν ἄλλων κατηγορημάτων τῆς οὐσίας. διάτοι τοῦτο καὶ τὴν ἐσχάτην εἴληχε τάξιν ὁ περὶ τῶν Παρωνύμων λόγος. κἀνταῦθα ἐστὶ τὸ ὁριζόμενον τὰ πράγματα, οὐ καθὸ πρὸς ἄλληλα ἀναφέρεται, ὡς τὰ Ὁμώνυμα, καὶ Συνώνυμα, ἀλλὰ πρὸς ἐκεῖνο ἐξ οὗ τὴν προσηγορίαν ἔχει. οἷον δυοῖν λευκοῖν φέρε εἰπεῖν Ψιμμυθίου καὶ Χίονος, οὐ θάτερον ἐκ θατέρου εἴρηται, εἴπουν παρωνόμασται, ἀλλ᾽ ἀπὸ τῆς λευκότητος ἀμφότερα.

Τρία δὲ ἐξ ἀνάγκης ζητεῖται ἐφ᾽ ἑκάστης παρωνυμίας. Τὸ εἶδος, φέρε εἰπεῖν ἡ γραμματική, ἐξ οὗ κατὰ μετοχὴν λέγεται τὸ παρώνυμον. ὅπερ παρωνυμοῦν τοῖς νεωτέροις κατονομάζεται. Δεύτερον τὸ ὑποκείμενον, φέρε εἰπεῖν ὁ ἄνθρωπος ὁ δεκτικὸς τῆς γραμματικῆς. ὅπερ παρωνυμούμενον τοῖς αὐτοῖς ἀποκαλεῖται, Καὶ αὐτὸ δὴ τὸ Παρώνυμον ἐκ τοῦ εἴδους καὶ τοῦ ὑποκειμένου συνεστηκός. ὅθεν οὐ δοκεῖ ἀναγκαῖον ἐπὶ τῶν Παρωνύμων παρεῖναι τὰ τέτταρα ἐκεῖνα, ἅπερ ὡς ἀναγκαῖα ἐκτίθησιν ὁ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Ἀμμώνιος, κοινωνίαν πράγματος, καὶ διαφορὰν πράγματος, κοινωνίαν ὀνόματος, καὶ διαφορὰν περὶ τὴν τελευταίαν συλλαβήν. τὴν γὰρ τοῦ ὀνόματος κοινωνίαν, ἔστιν ἃ τῶν παρωνύμων οὐκ ἔχοντα, οὐδὲν ἧττον μέντοι τοῖς πράγμασιν αὐτοῖς τυγχάνει παρώνυμα. οἷον ὁ σπουδαῖος ἀπὸ τῆς ἀρετῆς παρωνύμως λέγεται. μετέχει γὰρ τοῦ εἴδους τῆς ἀρετῆς, καὶ κατὰ μέθεξιν ἐκείνης σπουδαῖος ἤκουσεν, οὐ μὴν ἀρεταῖος. ὥστε οὐκ ἔστιν οὐδεμία κοινωνία τοῦ ὀνόματος τῆς ἀρετῆς τῷ σπουδαίῳ. ἔστι δ' ὅτε καὶ μετέχοντα τοῦ αὐτοῦ ὀνόματος οὐ διαφέρει κατὰ τὴν λῆξιν. οἷον ἡ γραμματικὴ γυνὴ ἀπὸ τῆς γραμματικῆς ἕξεως λεγομένη. εἰ δὲ κατὰ τὰ πράγματα καὶ τὸ ὄνομα καὶ τὴν φωνὴν εἶναι δεῖ τὴν παρωνυμίαν, ἀναγκαίως ζητεῖται τὰ ἐκτεθέντα τῷ Ἀμμωνίῳ, καθ' ὃν τρόπον καὶ ὁ Ἀριστοτέλης φαίνεται παραδοὺς ἐνταῦθα τὸν λόγον τῶν Παρωνύμων, καθ' ὅσον διαφέρει τε ἅμα, καὶ κοινωνεῖ, κατά τε τοὔνομα καὶ τὸ πρᾶγμα. οὐδὲν δ' ὅμως κωλύει ἡμᾶς ἐκτεῖναι τὸν λόγον, καὶ ἐπὶ τῶν μὴ κοινωνούντων ὅλως κατὰ τοὔνομα.

Ὅτι δὲ οὐχὶ αἱ φωναὶ ἀλλὰ τὰ πράγματα εἰσὶν ἐνταῦθα τὰ ὁριζόμενα, καὶ ἐξ αὐτῆς τῆς λέξεως μάλιστα γίνεται δῆλον. Παρώνυμα γὰρ φησι λέγεται. τὸ δὲ λέγεσθαι κυρίως καὶ πρώτως τοῖς πράγμασιν ἐφαρμόττει, ὥσπερ καὶ τὸ σημαίνεσθαι. ἔπειτα τὸ ἀπό τινος οὐκ ἐπὶ τοῦ ὀνόματος μόνον ἐννοεῖται, ἀλλὰ πολὺ μᾶλλον ἐπὶ τοῦ πράγματος, ἀπὸ τοῦ εἴδους δηλαδὴ οὗ κατὰ μετοχὴν τὸ παρώνυμον λέγεται. οὐ γὰρ μόνον ἀπὸ τοῦ γραμματικὴ ὀνόματος φέρε εἰπεῖν ὁ γραμματικὸς ἄνθρωπος, λέγεται παρωνύμως, ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τῆς κατὰ γραμματικὴν ἕξεως. ἄλλως γὰρ ἂν οὔτε ὁ δίκαιος ἀπὸ τῆς δικαιοσύνης, οὔτε ὁ σοφὸς ἀπὸ τῆς σοφίας, οὔτε ὁ σώφρων ἀπὸ τῆς σωφροσύνης παρώνυμα εἰσιν. παρὰ γὰρ τοῖς γραμματικοῖς οὐκ ἀπὸ τῆς δικαιοσύνης ὁ δίκαιος, οὐδὲ ὁ σοφὸς ἀπὸ τῆς σοφίας, ἢ ὁ σώφρων ἀπὸ τῆς σωφροσύνης παράγεται, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ δικαίου ἡ δικαιοσύνη, καὶ ἀπὸ τοῦ σώφρονος ἡ σωφροσύνη. τὰ μέντοι πράγματα ἐναντίως ἔχει, κἂν τῷ περὶ ποιότητος λόγῳ ὁ Φιλόσοφος τὸν σώφρονα τίθεται παρωνύμως λέγεσθαι ἀπὸ τῆς σωφροσύνης, καὶ τὸν δίκαιον ἀπὸ τῆς δικαιοσύνης, ὥστε τὸ ἀπό τινος, τὸ εἶδος μᾶλλον σημαίνει, ἢ τὸ ὄνομα.

Παρὰ ταῦτα ἐπὶ τοῦ ὁρισμοῦ φησὶ, τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχειν. προσαγορεύεται δὲ οὐ τὰ ὀνόματα, ἀλλὰ τὰ πράγματα διὰ τῶν ὀνομάτων. ὥστε πρόδηλον κἀνταῦθα ὁρίζεσθαι τὰ πράγματα, ὡς καὶ ἐν

τοῖς

Ε.Υ. Δ/της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῖς ἀνωτέρω. ἀλλὰ καὶ ἐκ τῶν παραδειγμάτων τῶν ἐν τῷ ὅρῳ οὐχ ἧττον γίνεται δῆλον. ὁ γραμματικὸς καὶ ὁ ἀνδρεῖος οὐκ εἰσὶν ὀνόματα ἀφῃρημένα, ἀλλὰ πράγματα.

## Περὶ τῶν διαιρέσεων.

### Κείμενον.

„Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ „συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν, οἷον ἄνθρωπος „τρέχει, ἄνθρωπος νικᾷ. τὰ δὲ ἄνευ συμπλοκῆς, οἷον ἄνθρωπος, „βοῦς, τρέχει, νικᾷ.

Μετὰ τὸ διδάξαι τὸν Φιλόσοφον ἡμᾶς τὴν ἔννοιαν τῶν Ὁμωνύμων, Συνωνύμων, καὶ Παρωνύμων, δι' ὧν τὸ τρίτον τοῦ τρόπου τῆς κατηγορίας ἐπὶ τῶν ὄντων, ἡμῖν γέγονε δῆλον, τὴν λοιπὸν μεταβῆναι ἐπὶ τὴν διαίρεσιν τοῦ ὄντος. ἀλλ' ἐπειδὴ ἡ ἐς ὁλοσχερέστερα μέρη διαίρεσις ἑκάστου, προηγεῖται τῆς ἐς πλείονα μέρη γινομένης, ὥσπερ καὶ τὰ καθόλου τῶν κατὰ μέρος, τούτου χάριν πρὸ τοῦ διελεῖν τὰ ὄντα ὁ Φιλόσοφος εἰς δέκα, εἰς δύο, καὶ αὖθις εἰς τέτταρα διανεῖμαι προβάλλεται. ἀλλὰ καὶ πρὸ τούτου τίνα εἰσὶν ἃ δέχεται τὴν διανομὴν ταύτην ἐπὶ τοῦ παρόντος διδάσκει. τὰ γὰρ ὄντα καὶ κατὰ συμπλοκὴν ἑρμηνεύεται, καὶ ἄνευ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν, ἅτε δὴ συνθέτως ἑρμηνευόμενα, καὶ ἐκ διαφόρων συμπεπλεγμένα, εἰς τὸν περὶ προτάσεων λόγον ἀνατίθεται ὁ Φιλόσοφος. οὐ γὰρ ἐν ταῖς κατηγορίαις πίπτεται, ὅτι μὴ τὰ ἁπλᾶ τῶν ὄντων, καὶ ἄνευ συμπλοκῆς.

Τετραχῶς τοιγαροῦν τῆς συμπλοκῆς θεωρουμένης, ἡ μὲν ἐν ταῖς φωναῖς μόνον θεωρεῖται, οὐκ ἔτι δὲ καὶ ἐν τοῖς πράγμασιν, οἷον ἄκρα πόλις, ἄρειος πάγος, καὶ τὰ τοιαῦτα. αὗται γὰρ αἱ φωναὶ σύνθετοι εἰσὶ προφανῶς, τὰ δὲ σημαινόμενα πράγματα ἁπλᾶ, ἤγε μεσαιτάτη περιοπὴ τῆς πόλεως, καὶ τὸ δικαστήριον. ἡ δὲ ἐν μόνοις τοῖς πράγμασι θεωρεῖται, ἀλλ' οὐκ ἐν ταῖς φωναῖς, ὡς λαλῶ, ἀκούω. ἐν τούτοις γὰρ συνεπινοεῖται ἡ ἐνεργοῦσα οὐσία, καίτοι τῶν φωνῶν ἁπλῶν οὐσῶν, ὁ λαλῶν δηλονότι, καὶ ὁ ἀκούων.

Τρίτον ἡ συμπλοκὴ θεωρεῖται ἐν ἀμφοτέροις, τοῖς τε πράγμασι, καὶ φωναῖς, οἷον Δημοσθένης δημηγορεῖ, καὶ Ἀριστοτέλης περιπατεῖ. ἐν οἷς αἵτε λέξεις εἰσὶ διάφοροι, καὶ τὰ σημαινόμενα ὁμοίως, ὁ δημηγορῶν δηλαδὴ, ἢ ὁ περιπατῶν ἄνθρωπος, καὶ ἡ κατὰ δημηγορίαν ἐνέργεια, καὶ ὁ περίπατος. καὶ τελευταῖον ἀμφότερα ὡς ἁπλᾶ, ἤγε φωνὴ, καὶ τὰ

πράγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πράγματα. τὰ μὲν οὖν ἐπὶ τοῦ παρόντος τῷ Ἀριστοτέλει διαιτησόμενα, ἃ καὶ ταχθήσεται ἐν τῇ σειρᾷ τῶν κατηγοριῶν, εἰσὶν ὅσα ἐκτὸς τυγχάνει συμπλοκῆς ἐν τοῖς πράγμασι θεωρούμενα, ὅπως δήποτε τῶν φωνῶν ἐχουσῶν εἴτε ἐν συμπλοκῇ, εἴτε ἄνευ συμπλοκῆς.

Ἰστέον ὅτι ὁ Ἀριστοτέλης ἐχρήσατο τισὶ ῥήμασι δηλωτικοῖς τινῶν τοῦ ὄντος γενῶν, ὡς τὸ ποιεῖν, τὸ πάσχειν, καὶ τὰ τοιαῦτα, ἅπερ τρόπον τινὰ μετὰ συμπλοκῆς πράγματα ὑποδηλοῦσιν, ἀλλὰ τοῦτο πεποίηκε διὰ τὸ μὴ ὡρισμένως ἐμφαίνεσθαι τὴν ἐνεργοῦσαν οὐσίαν. διὸ καὶ δι' ἀπαρεμφάτου δεδήλωκε, καὶ ὡς ἁπλᾶ ἐν τῇ ἀπαριθμήσει τῶν ὄντων παρείληφε.

Προσέτι εἰδέναι δέον, ὅτι τὸ, λέγεται, πρώτως μὲν ἁρμόττει τοῖς πράγμασι, ταῦτα γὰρ διὰ λόγου σημαίνονται, δευτέρως δὲ καὶ τοῖς νοήμασι, καὶ ταῖς λέξεσιν. ἐκείνοις μὲν ὡς ἑρμηνευομένοις, ταύταις δὲ ὡς προφερομέναις. τὸ μὲν οὖν ἐν τῷ παρόντι χωρίῳ, λέγεται, νοῆσαι δυνάμεθα καὶ περὶ πραγμάτων, καὶ περὶ φωνῶν. περὶ φωνῶν μὲν, καὶ γὰρ προβαίνων ὁ Ἀριστοτέλης φησὶ, τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἤτοι Οὐσίαν σημαίνει, ἢ Ποσὸν, ἢ Ποιὸν, καὶ τὰ λοιπά. τὸ δὲ, σημαίνειν, λέξεσιν ἁρμόζει σημαινούσαις, καὶ οὐ σημαινομένοις πράγμασι. περὶ πραγμάτων δὲ, ὅτι διὰ τούτου (1) χωρίζονται τὰ μὴ ἐν τῇ κατηγορίᾳ τιθέμενα τῶν ἐν αὐτῇ ταττομένων, ἅπερ πράγματα εἰσὶ προφανῶς. ἔτι δὲ ἰστέον, ὅτι καὶ τὸ ἕτερον μέρος ὅπερ ὁ Φιλόσοφος τυγχάνει ὑποδιαιρῶν, εἰς πράγματα καὶ οὐκ εἰς λέξεις διαιρεῖται. διαιρεῖ τοίνυν ὁ Φιλόσοφος ἐνταῦθα τὰ ὄντα θεωρούμενα ὡς διὰ φωνῶν σημαινόμενα. ἐπὶ δὲ τῶν ἑξῆς διαιρέσεων καθ' αὐτό (2).

## Δευτέρα διαίρεσις. Κείμενον.

» Τῶν ὄντων τὰ μὲν, καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκει-
» μένῳ δὲ οὐδενί ἐστιν. οἷον ὁ ἄνθρωπος, καθ' ὑποκειμένου λέ-
» γεται τοῦ τινὸς ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐδενί, ἐστι καὶ τὰ ἑξῆς.

Ἀφορισάμενος ἀνωτέρω ὁ Φιλόσοφος τῶν κατὰ συμπλοκὴν λεγομένων, ὅσα ἄνευ συμπλοκῆς λέγεται, ταῦτα νῦν ἀναλαβὼν πρῶτον μὲν διαιρεῖ εἰς δύο, εἰς οὐσίαν καὶ συμβεβηκός. τὰ γὰρ ὄντα, ἢ καθ' αὑτὸ ὑπάρχουσι, καὶ λέγονται Οὐσίαι, ἢ ἐν ἄλλῳ τὸ εἶναι ἔχουσι, καὶ λέγονται Συμβεβηκότα. εἶτα ἑκάτερον ὑποδιαιρεῖ μέρος, τὴν Οὐσίαν δηλαδὴ

εἰς

(1) Τοῦ λέγεται, χωρίζεται τὰ μετὰ συμπλοκῆς λεγόμενα. (2) Ἤτοι καθὸ πράγματα.

Ε. Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰς μερικὴν καὶ καθόλου, καὶ τὸ Συμβεβηκὸς ὁμοίως εἰς μερικὸν καὶ καθόλου. ὧν ἕκαστον ὑπογράφει καὶ διὰ παραδείγματος σαφηνίζει. κέχρηται δὲ οὐ τοῖς ἰδίοις ἑκάστου ὀνόμασιν, ἀλλὰ ταῖς τούτων ὑπογραφαῖς, ἵνα οἰκειότερον τὴν φύσιν αὐτῶν παραστήσῃ.

Ἐπειδὴ γὰρ τῶν ὄντων τὰ μὲν αὐθυπόστατα εἰσὶ μηδενὸς ἄλλου δεόμενα εἰς ὕπαρξιν, ἃ καὶ οὐσίας καλοῦμεν, τὰ δὲ ἐν ἄλλοις ὑφέστηκεν, ἃ καὶ συμβεβηκότα δι᾽ αὐτὸ τοῦτο λέγεται. τὰ μὲν συμβεβηκότα, διὰ τὸ ἐν ὑποκειμένῳ εἶναι ἐδήλωσε, τὰς δὲ οὐσίας διὰ τὸ μὴ ἐν ὑποκειμένῳ. καὶ τούτων ἑκάτερον, τὰ μὲν καθόλου, διὰ τὸ καθ᾽ ὑποκειμένου λέγεσθαι ὑπογράφει, τὰ δὲ κατὰ μέρος, διὰ τὸ μὴ καθ᾽ ὑποκειμένου. τὴν μὲν οὖν καθόλου οὐσίαν φησὶν εἶναι, τὴν καθ᾽ ὑποκειμένου μὲν λεγομένην, ἐν ὑποκειμένῳ δὲ οὐδενὶ οὖσαν, οἷον ἄνθρωπος, ζῶον, καὶ τὰ ὅμοια. τὴν δὲ μερικὴν, μήτε καθ᾽ ὑποκειμένου λεγομένην, μήτε ἐν ὑποκειμένῳ οὖσαν. ἀλλὰ μόνον ὑποκείμενον, ὡς Σωκράτης, Πλάτων, καὶ τὰ ὅμοια. τὸ δὲ καθόλου συμβεβηκὸς ὑπογράφει λέγων, τὸ καθ᾽ ὑποκειμένου τε λεγόμενον, καὶ ἐν ὑποκειμένῳ ὄν, ὡς ἡ τῆς γραμματικῆς ἕξις, ἔστι μὲν καὶ ἐν τῇ τοῦ γραμματικοῦ ψυχῇ, λέγεται δὲ καὶ κατὰ τῆς ἕξεως τῆς γραμματικῆς τοῦ Κωνσταντίνου, ἢ Τρύφωνος, καὶ τῶν λοιπῶν ἕξεων τῶν κατὰ μέρος γραμματικῶν. μερικὸν δὲ συμβεβηκὸς, τὸ ἐν ὑποκειμένῳ μὲν ὄν, καθ᾽ ὑποκειμένου δὲ οὐδενὸς λεγόμενον. ὡς τοῦτο τὸ λευκὸν μερικῶς ἐνυπάρχει τούτῳ τῷ τοίχῳ.

Διδάσκει δὲ ὁ Φιλόσοφος ὅτι ἐν ὑποκειμένῳ ἐκεῖνο λέγεται εἶναι, ὅπερ μὴ ἔν τινι ὡς μέρος ὑπάρχων, οὐ δύναται εἶναι χωρὶς ἐκείνου ἐν ᾧ ἐστὶ, τουτέστιν οὐκ ἐνυπάρχον οὐσιωδῶς τῷ ὑποκειμένῳ, χωρὶς τούτου ἀδύνατον εἶναι. πρὸς δὲ τὴν τῆς λέξεως κατανόησιν ἰστέον, ὅτι τὸ λέγεσθαι καθ᾽ ὑποκειμένου, συνωνύμως τε, καὶ οὐσιωδῶς λαμβάνεται, εἴτε οὐσίαι εἴησαν, εἴτε συμβεβηκότα. καὶ τοῦτο ὑποδηλοῖ ὁ Φιλόσοφος, τῷ τῆς γραμματικῆς παραδείγματι, τὸ καθόλου συμβεβηκὸς μὴ κατηγορεῖσθαι κατὰ τῶν ἐχόντων τὴν τῆς γραμματικῆς ἕξιν, ἀλλὰ κατὰ τῶν ἕξεων τῆς γραμματικῆς τέχνης. ὅθεν δῆλον ὅτι τὸ καθόλου κατηγορεῖται κατὰ τῶν ὑποτεταγμένων ἐπὶ τῆς αὐτῆς σειρᾶς τῶν κατηγοριῶν, ὃν τρόπον τὸ ζῶον κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου, καὶ τῶν λοιπῶν.

Ἵνα δὲ καὶ τὸ ἔν τινι μᾶλλον ἡμῖν γνωστὸν γένηται, ἰστέον, ὅτι ὀκταχῶς λέγεται τὶ εἶναι ἔν τινι, ὡς ἐν τῷ τετάρτῳ τῶν φυσικῶν φέρεται. Πρῶτον, ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ, ἢ ἡ χεὶρ ἐν τῷ σώματι. Δεύτερον, ἢ ὡς ὅλον ἐν τοῖς μέρεσιν, ὡς τὸ ἀνθρώπειον σῶμα, ἐν κεφα-

λῇ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λῇ, χερσὶ, ποσὶ, καὶ τοῖς λοιποῖς μέρεσιν. Τρίτον ἢ ὡς γένος ἐν εἴδεσι, ὡς τὸ ζῶον ἐν ἀνθρώπῳ, κυνὶ, καὶ τοῖς λοιποῖς εἴδεσιν. Τέταρτον ἢ ὡς εἶδος ἐν γένει ὡς ἐν τῷ ζώῳ ὁ ἄνθρωπος. Πέμπτον ἢ ὡς εἶδος ἐν ὕλῃ. Ἕκτον ἢ ὡς τὰ τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι, ὡς τῷ Βασιλεῖ τὰ τῶν Ἑλλήνων ἐλέγετο πράγματα, καὶ ὅλως ἐν τῷ κινοῦντι, καὶ ποιοῦντι, ὡς ἐν ἐξουσίᾳ, καὶ διοικήσει. Ἕβδομον δὲ ὡς τὰ τοῦ τέλους ἕνεκεν ἐν τῷ τέλει, ὡς αἱ ἀρεταὶ ἐν τῇ εὐδαιμονίᾳ. Ὄγδοον δὲ τὰ ἐν ἀγγείῳ, καὶ ὅλως τὰ ἐν τόπῳ, ὡς τὸ ὕδωρ ἐν τῇ λεκάνῃ, καὶ τὰ σώματα ἐν τῷ πρώτῳ περιέχοντι τόπῳ. τοιγαροῦν ὁ Ἀριστοτέλης φησὶ, τὰ συμβεβηκότα ἐν ὑποκειμένοις εἶναι ἐν οἷς ὑπάρχει, καὶ μήτε μέρος ἐκείνων εἶναι, ἀλλὰ καὶ χωρὶς τούτων ὑπάρχειν ἀδύνατον. ὡς ἡ ἐν τῷ τοίχῳ λευκότης, ὃ διαφέρει ἀπὸ τῶν ἀνωτέρω τοῦ ἔν τινι τρόπου. διαφέρει γὰρ ἀπό τε τοῦ α. καὶ β. καὶ γ. καὶ δ. καὶ ε., ἐπειδήπερ λέγεται μὴ εἶναι μέρος, μήτε μὴν οὐσιῶδες, καὶ ἐνυπάρχειν. ἐκεῖνα γὰρ καὶ μέρη εἰσὶ, καὶ οὐσιώδη, καὶ οὐ πάντῃ ἀλλότρια, μήτε ἐνυπάρχει, ὡς ἡ λευκότης ἡ ἐν τῷ τοίχῳ. τινὲς δὲ τῶν ἐξηγητῶν τὸ ἐν ὑποκειμένῳ συμβεβηκὸς τιθέασιν εἰς τὸ ε. τοῦ ἔν τινι τρόπου. καὶ δοκεῖ μὲν ἀληθεύειν ἔν τισιν, ἀλλ᾽ οὐχ ἁπλῶς. τὰ γὰρ συμβεβηκότα τὴν ὕλην οὐκ εἰδοποιεῖ, εἰ μήπως. τουτέστι κατὰ συμβεβηκός. μᾶλλον δὲ τῷ η. τρόπῳ τοῦ ἔν τινι προσαρμόσειε. Αὕτη δὲ ἡ διαίρεσις τοῦ ὄντος, ὑπὸ τὴν διαίρεσιν τῆς ὁμωνύμου φωνῆς, εἰς τὰ οἰκεῖα σημαινόμενα ὑπάγεται. τὸ γὰρ ὂν ὅπερ ἐστὶ τὸ διαιρούμενον ἐνταῦθα, ὁμωνύμως λέγεται κατά τε τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος.

Προσέτι δὲ ἰστέον ἐν ταῖς κατηγορίαις μηδὲν ἄλλο ἐνεῖναι ὡς ἀπὸ τῶν ἐκτεθεισῶν ὑπογραφῶν συνάξαι δυνάμεθα, εἰμὴ κατηγορούμενον, καὶ ὑποκείμενον, ἢ ἑκάτερον διαφόροις σχέσεσι, καὶ οὐ κατὰ ταυτὸ λαμβανόμενον. ἀποδίδονται γὰρ αἱ τούτων ὑπογραφαὶ, διὰ τοῦ καθ᾽ ὑποκειμένου λέγεσθαι, ἢ ὑποκείμενον εἶναι, τουτέστι μὴ καθ᾽ ὑποκειμένου. διὰ δὲ τοῦ ἐν ὑποκειμένῳ, καὶ μὴ ἐν ὑποκειμένῳ, ἡ οὐσία καὶ τὸ συμβεβηκὸς ὑποδηλοῦται.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006




Τριχῶς ἡ συνωνυμία θεωρεῖται.

Ἡ μὲν ἐν ταῖς φωναῖς μόνον θεωρεῖται, οὐχὶ δὲ καὶ ἐν τοῖς πράγμασιν, οἷον ἄκρα πόλις, ἄρειος πάγος.

Ἡ δὲ ἐν μόνοις τοῖς πράγμασιν, ἀλλ' οὐκ ἐν ταῖς φωναῖς, ὡς λαλῶ, ἀκούω.

Ἡ δὲ ἐν ἀμφοτέροις τοῖς τε πράγμασι, καὶ φωναῖς, οἷον Δημοσθένης δημηγορεῖ, καὶ Ἀριστοτέλης περιπατεῖ.

Καὶ τελευταῖον ἀμφότερα, ὡς ἁπλᾶ, ἥτε φωνὴ, καὶ τὰ πράγματα.

## Περὶ τῶν Κανόνων. Πρῶτος.

### Κείμενον.

„ ΟΤαν ἕτερον καθ' ἑτέρου κατηγορεῖται, ὡς καθ' ὑποκειμένου,
„ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ
„ ὑποκειμένου ῥηθήσεται.

Ἐπὶ τοῦ παρόντος, μετὰ τὴν ἔκθεσιν τῶν διαιρέσεων, τρεῖς κανόνας ὁ Φιλόσοφος ἡμῖν παραδίδωσιν. ὧν πρῶτος ἐπὶ τοῦ παρόντος πάντα τὰ ἐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

παραβεβηκότα κατὰ τῶν ὑποβεβηκότων κατηγορεῖσθαι ἀπὸ τοῦ γένους μέχρι τῶν ἀτόμων διδάσκει, οἷον τὸ ζῶον κατηγορεῖται κατὰ τοῦ ἀνθρώπου, τοῦ δὲ ζώου κατηγορεῖται τὸ ἔμψυχον, καὶ σῶμα, καὶ οὐσία, καὶ ταῦτα ἄρα πάντα κατηγορηθήσεται κατὰ τοῦ ἀνθρώπου. ἐννοεῖται δὲ τὸ καθ' ὑποκειμένου, ὃν τρόπον τὰ γένη κατηγορεῖται τῶν εἰδῶν, καὶ τὰ εἴδη τῶν ἀτόμων. συμβάλλεται δὲ ὁ τοιοῦτος κανὼν εἰς διάγνωσιν τῶν τεταγμένων ἐπὶ τῆς αὐτῆς σειρᾶς τῶν κατηγοριῶν. ὧν τὰ ἀνώτερω ἀεὶ κατηγορεῖται τῶν ὑποτεταγμένων, μέχρι τῶν ἀτόμων. τούτῳ γὰρ τῷ τρόπῳ οὐ δύναται κατηγορεῖσθαι ἀλλότρια τινὰ, εἰ μὴ τὰ συνωνύμως καὶ οὐσιωδῶς λεγόμενα.

Ἀλλ' εἶχεν εἰπεῖν τις πρὸς τὰ εἰρημένα. ὅτι τὸ ζῶον λέγεται γένος, ὁ δὲ ἄνθρωπος ὑπὸ τὸ ζῶον ὢν, οὐ λέγεται γένος, ἀλλ' εἶδος, οὔτε μὴν ὁ Σωκράτης ὑπὸ τὸν ἄνθρωπον, λέγεται εἶδος, πῶς οὖν ὁ κανὼν ἀληθεύει;

Πρὸς ὃν ῥητέον, ὅτι τὸ Γένος οὐχ ὡς καθ' ὑποκειμένου κατηγορεῖται τοῦ ζώου, ὥσπερ οὐδὲ τὸ εἶδος τοῦ ἀνθρώπου, ἀλλὰ κατὰ συμβεβηκός. συμβέβηκε γὰρ τῇ φύσει τοῦ ζώου πολλοῖς εἴδεσιν ἐνυπάρχειν, καθ' ὃ γένος ἤκουσεν, ὥσπερ καὶ τῇ τοῦ ἀνθρώπου, ἐν πολλοῖς ὑπάρχειν τοῖς καθ' ἕκαστα. ὅθεν τὸ κατὰ συμβεβηκὸς λέγεσθαι τὸ ζῶον, γένος, οὐ μεταδίδωσι τοῦ ὀνόματος τοῖς καθ' ὧν κατηγορεῖται.

## Δεύτερος κανών.

### Κείμενον.

„ Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, ἕτεραι τῷ εἴδει
„ καὶ αἱ διαφοραὶ, οἷον ζώου καὶ ἐπιστήμης. ζώου μὲν γὰρ αἱ
„ διαφοραὶ τό, τε πεζὸν καὶ δίπουν, καὶ τὸ πτηνὸν, καὶ ἔνυδρον. ἐπι-
„ στήμης δὲ οὐδεμία τούτων. οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δί-
„ πουν εἶναι.

Διχῶς ἑκάστης κατηγορίας θεωρουμένης, κατὰ βάθος, καὶ κατὰ πλάτος, κατὰ βάθος μὲν, καθὸ τὰ ἀνώτερα τῶν κατωτέρω κατηγορεῖται, κατὰ πλάτος δὲ καθὸ τὰ ἑτερογενῆ πρὸς ἄλληλα συγκεῖνται. τοιγαροῦν διὰ τοῦ προλαβόντος κανόνος τὴν κατὰ βάθος κατηγορίαν ἐδήλωσεν ὁ Φιλόσοφος τίνα τρόπον ὀφείλει γίνεσθαι, καὶ τίνα κατὰ τίνων κατηγορεῖσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΕΡΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρεῖσθαι. διὰ δὲ τοῦ παρόντος οὐχ ἧττον χρησίμου ὄντος, αὐτὸ τοῦτο δεικνυσιν ἐκ τῶν διαφορῶν. καὶ προσέτι τὰ μὴ ὑπὸ τὸ αὐτὸ γένος ταττόμενα διακρίνει. ὧν γάρ φησι τὰ γένη πάντη ἕτερα καὶ μὴ ὑπ' ἄλληλα τεταγμένα, τουτέστι μὴ τῆς αὐτῆς ὄντα κατηγορίας, τούτων αἵ,τε συστατικαὶ καὶ διαιρετικαὶ διαφοραὶ, ἕτεραι τῷ εἴδει τυγχάνουσι, καὶ ἀνάπαλιν. ὧν ἕτεραι τῷ εἴδει αἱ συστατικαὶ, καὶ αἱ διαιρετικαὶ διαφοραὶ, ἕτεραι πάντως εἰσὶ καὶ αἱ κατηγορίαι, ὑφ' ἃς ἀνάγονται. εἰσὶ γὰρ ἑτερογενῆ, ὅσα ἐν διαφόροις κατηγορίαις ταττόμενα εἰσί. σαφηνίζει τοῦτο ὁ Φιλόσοφος διὰ παραδείγματος τοῦ ζώου, καὶ τῆς ἐπιστήμης. ὧν τὸ μὲν ζῶον ὑπὸ τὸ γένος τάττεται τῆς οὐσίας, ἡ δὲ ἐπιστήμη ὑπὸ τὴν ποιότητα. ἐπεὶ οὖν διάφορα γένη εἰσὶν ἥτε οὐσία καὶ ἡ ποιότης, καὶ μὴ ὑπ' ἄλληλα τεταγμένα, καὶ αἱ διαφοραὶ τούτων ἐξ ἀνάγκης ἕτεραι εἰσί. ζώου μὲν γὰρ συστατικαὶ διαφοραὶ τὸ ἔμψυχον, τὸ αἰσθητικὸν. διαιρετικαὶ δὲ, τό,τε πεζὸν, καὶ πτηνὸν, καὶ τὸ ἔνυδρον. ἐπιστήμης δὲ διαφοραὶ, συστατικαὶ μὲν, ἕξις ἀληθευτικὴ ἐν ψυχῇ, καὶ τὰ τοιαῦτα. διαιρετικαὶ δὲ, θεωρητικὸν, πρακτικὸν, ποιητικόν. ὅθεν δῆλον ὅσα τῷ γένει πάντη ἀλλήλων κεχώρισται, τούτων καὶ αἱ διαφοραὶ ἀλλήλων πάντη κεχωρισμέναι εἰσί. τὰ δὲ τοιαῦτα οὐκ ἂν ἐπὶ τῆς αὐτῆς κατηγορίας.

Ἑτέρας δὲ τῷ εἴδει εἴρηκε τὰς διαφορὰς, ἵνα τὰς εἰδοποιοὺς δηλώσῃ. τὰς γὰρ καθ' ὁμωνυμίαν, καὶ ὅλως κατὰ συμβεβηκὸς διαφορὰς, ἐνδέχεται πολλάκις καὶ τῶν πάντη ἑτερογενῶν εἶναι τὰς αὐτὰς, οἷον δίπουν ὅ,τε ἄνθρωπος καὶ τὸ γεγραμμένον. ὧν ὁ μὲν ἄνθρωπος τοῦ γένους ἐστὶ τῆς οὐσίας, τὸ δὲ γεγραμμένον ἐπὶ τὴν ποιότητα ἀναφέρεται.

## Τρίτος Κανών.

Τρίτον ἐπάγει ὁ Φιλόσοφος, τῶν δὲ ὑπαλλήλων γενῶν, (τοιαῦτα δὲ εἰσὶν, ὅσα ὑπὸ τὴν αὐτὴν τάττεται κατηγορίαν, ὡς θάτερον ὑπὸ θάτερον, οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς. πάντως γὰρ αἱ συστατικαὶ τοῦ ἀνωτέρω, καὶ τοῦ κατωτέρω εἰσὶν αἱ αὐταί. ὅσα γὰρ συνιστῶσι φέρε εἰπεῖν τὸ ἔμψυχον, καὶ ἐν τῷ ζώῳ εἰσὶ ταῦτα. αἱ μέντοι διαιρετικαὶ τῶν ἀνωτέρω, οὐ πᾶσαι ἐνυπάρχουσι τοῖς κατωτέρω, ἀλλ' ὅσαι οἰκεῖαι ἑκάστου. διαιρετικαὶ γὰρ τοῦ ἐμψύχου, τό,τε αἰσθητικὸν, καὶ ἀναίσθητον, οὐ μὴν ἀμφότεραι ἐν τῷ ζώῳ. ἀλλὰ τὸ μὲν αἰσθητικὸν, ὅπερ ἐστὶν οἰκεῖον τοῦ ζώου, ἐστὶν ἐν τῷ ζώῳ. τὸ δὲ ἀναίσθητον ἐν τῷ φυτῷ. δῆλον οὖν ὅτι τὰ ἑτερογενῆ διχῶς ἐννοοῦνται, τὰ μὲν πάντη ἕτερα καὶ ὑπὸ διαφόρους κα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τηγορίας, ὡς τὸ Ζῶον καὶ ἡ Ἐπιστήμη. τὰ δὲ ὑπὸ τὴν αὐτὴν κατηγορίαν, ὡς ἡ Συκῆ καὶ ὁ Ἵππος. ἅπερ ἑτερογενῆ μὲν λέγεται διὰ τὸ τὴν μὲν Συκὴν ὑπὸ τὸ φυτὸν εἶναι, τὸν δὲ Ἵππον ὑπὸ τὸ Ζῶον. ὑπάλληλα δὲ τῷ ὑπὸ τὴν οὐσίαν εἶναι.

## Κείμενον.

„ Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, ἕκαστον ἤτοι οὐσίαν
„ σημαίνει, ἢ Ποσὸν, ἢ Ποιὸν, ἢ Πρός τι, ἢ Ποῦ, ἢ Ποτὲ, ἢ
„ Κεῖσθαι, ἢ Ἔχειν, ἢ Ποιεῖν, ἢ Πάσχειν. ἔστι δὲ Οὐσία μὲν ὡς ἐν
„ τύπῳ εἰπεῖν, οἷον Ἄνθρωπος, Ἵππος. Ποσὸν δὲ, οἷον δίπηχυ, τρί-
„ πηχυ. Ποιὸν δὲ, οἷον λευκὸν, γραμματικόν. Πρός τι δὲ, οἷον δι-
„ πλάσιον, ἥμισυ, μεῖζον. Ποῦ δὲ, οἷον ἐν ἀγορᾷ, ἐν λυκείῳ. Ποτὲ
„ δὲ, οἷον χθὲς, πέρυσι. Κεῖσθαι δὲ, οἷον ἀνάκειται, κάθηται. Ἔ-
„ χειν δὲ, οἷον ὑποδέδεσθαι, ὥπλισθαι. Ποιεῖν δὲ, οἷον τέμνειν, καί-
„ ειν· Πάσχειν δὲ, οἷον τέμνεσθαι, καίεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων αὐ-
„ τὸ μὲν καθ᾽ αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται, ἢ ἀποφάσει, τῇ
„ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις, ἢ ἀπόφασις γίνεται.
„ ἅπασα γὰρ κατάφασις, ἢ ἀπόφασις δοκεῖ, ἤτοι ἀληθὴς, ἢ ψευδὴς
„ εἶναι. τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων, οὐδὲν, οὔτε ἀ-
„ ληθὲς, οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκὸν, τρέχει, νικᾷ.

Τῆς πρὸ τῶν κατηγοριῶν διδασκαλίας περαιωθείσης, νῦν αὐτῆς τῆς τῶν κατηγοριῶν διαιρέσεως ὁ Φιλόσοφος ἅπτεται, καὶ τοῖς προλαβοῦσιν ἤδη κανόσιν, εἰς τὴν δεκαδικὴν τῶν τοῦ ὄντος γενῶν σύνταξιν καὶ κατηγορίαν τὸν ἀκροατὴν ἀσφαλισάμενος, τῆς διαιρέσεως ταύτης τὰ μέρη ἀπαριθμεῖται, καὶ διὰ παραδείγματος ἕκαστον τυπικῶς ἐμφαίνει. μεθ᾽ ὅ,τι ἁπλοῦν ἕκαστον τῶν εἰρημένων καθ᾽ ἑαυτὸ λεγόμενον δείκνυσι, διὰ τὸ μήτε ἀλήθειαν, μήτε ψεῦδος σημαίνειν. τὰ γὰρ κατὰ συμπλοκὴν ἐν ἀποφάσει, ἢ καταφάσει λέγεται, καὶ ἀκολούθως ἀλήθειαν, ἢ ψεῦδος δηλοῖ.

Ἰστέον, ὅτι τῶν ὄντων ὅσα μέρους λόγον ἔχει, ὡς Ὕλη, καὶ Εἶδος, καὶ τὰ κατὰ Ποσὸν μέρη, καὶ ὅσα ὡς ὅροι ἐννοοῦνται ἑτέρῳ, ὡς ἔχει στιγμὴ πρὸς γραμμὴν, καὶ γραμμὴ πρὸς ἐπιφάνειαν, αἵ,τε κινήσεις, ἀτελῆ λεγόμεναι ὄντα, στερήσεις τε, ὡς τύφλωσις, καὶ θάνατος, καὶ αἱ ἀποφάσεις, οὐ τάττονται κατ᾽ εὐθεῖαν σειρὰν ἐν ταῖς κατηγορίαις, ἀλλὰ πλαγίως ἀνάγονται. τὰ μὲν μέρη ἐπὶ τὴν κατηγορίαν τοῦ ὅλου, καὶ οἱ ὅροι ἐπὶ τὴν κατηγορίαν ὧν εἰσὶν ὅροι, ὁμοίως δὲ καὶ αἱ στερήσεις, ἀνάγονται ἐπὶ τὴν

κατη-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κατηγορίαν, ὧν εἰσὶ στερήσεις, καὶ αἱ ἀποφάσεις, ὧν εἰσὶν ἀποφάσεις. ὡς ἡ τύφλωσις εἰς τὴν τῆς Ποιότητος κατηγορίαν, ὅπου ἡ ὅρασις, καὶ ὁ θάνατος εἰς τὴν Οὐσίαν, ὅπου τὸ ζῶον, ὥσπερ καὶ ἡ ὕλη καὶ τὸ εἶδος. ἡ δὲ μονὰς, στιγμή τε καὶ τὸ νῦν ἐπὶ τὸ Ποσὸν, οὗτινος ἀρχαί εἰσι, καὶ ὅροι. καὶ ὅλως τὰ πλαγίως ἀποδιδόμενά τινι, τῆς αὐτῆς εἰσὶ κατηγορίας ἐκείνῳ, εἰ μὴ ἐν ἑτέρῳ γένει καθ' ἑαυτὰ πίπτεται.

Τὸ δὲ ἓν, καὶ ἀγαθὸν, καὶ τὸ τὶ, καὶ τὰ τοιαῦτα τοῦ ὄντος παρεπόμενα, κοινὰ θετέον ὁμωνύμως πασῶν τῶν κατηγοριῶν, ὥσπερ καὶ τὸ ὄν. ὧν ἐγνωσμένων ἡμῖν οὕτως, οὐδὲν ἐνοχλήσει τὰ ἀμφισβητούμενα τοῦ ἀριθμοῦ τῶν δέκα γενῶν.

Προσέτι ἀμφιβάλλεται, πότερον αἱ νοεραὶ Οὐσίαι ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας εἰσὶ θετέαι, ἢ οὔ; καὶ περὶ μὲν Θεοῦ, ἐν τῇ κατηγορίᾳ, πᾶσι δῆλον, μὴ συνέχεσθαι. ἔστι γὰρ ἁπλουστάτη, καὶ ἀκριβεστάτη Οὐσία, καὶ οὐδένα λόγον Γένους, ἢ Διαφορᾶς ἐν ἑαυτῇ φέρειν δύναται. οὐδεμίαν γὰρ κέκτηται ἀτελειότητα, οὔτε μὴν τελικοῦ τινος δέεται. περὶ δὲ τῶν Νόων ἀμφιβάλλεται πλεῖστα, ἀλλ' ἀλλότριον τῇ ἡμετέρᾳ προθέσει, περὶ τούτων τὰ νῦν μακροὺς ἐπαναλίσκειν λόγους. τοῦτο δὲ μόνον ἐπὶ τοῦ παρόντος ὑποτιθέσθω, ὕστερον δὲ καὶ πλατυτέροις λόγοις τὸν Φιλόσοφον δείξομεν, οὐ περὶ τῶν νοερῶν Οὐσιῶν πραγματεύεσθαι, ὅπερ τῷ τε τρόπῳ τῆς ὑπογραφῆς, τοῖς τε ἰδιώμασιν, ἃ ταῖς οὐσίαις ἀπένειμεν, ὡς οὐδοτιοῦν ταῖς νοεραῖς Οὐσίαις προσήκει, δῆλον καθίσταται. ἔτι δὲ καὶ ὅτι ἐνταῦθα, περὶ τῆς οὐσίας ἐκείνης πραγματεύεται, ἥτις ἐστὶ βάσις τῶν ἄλλων κατηγοριῶν, Ποσότητος δηλαδὴ, Ποιότητος, καὶ τῶν λοιπῶν, ὁποία οὐκ ἔστιν ἡ νοερὰ οὐσία. ὥστε ἡ σωματικὴ οὐσία ἐνταῦθα θεωρεῖται τῷ Φιλοσόφῳ, καὶ τὰ ἐν αὐτῇ θεωρούμενα συμβεβηκότα, ἐξ ὧν ὁ δεκαδικὸς ἀριθμὸς ἀπαρτίζεται.

Ἔστι δὲ ἡ διαίρεσις (ὡς καὶ ἀλλαχόθι εἴρηται) τοῦ ὄντος εἰς τὰ δέκα γένη ταῦτα, τῆς ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα. τῶν δὲ ὁμωνύμων ἐκείνου τοῦ τρόπου ἐστὶν ἡ διαίρεσις, τοῦ ἀφ' ἑνὸς, ἢ πρὸς ἓν λεγομένων. ὥσπερ γὰρ τὸ ὑγιεινὸν λέγεται ἐπί τε ζώου, διαίτης, φαρμάκου, οὔρων, καὶ τῶν ὁμοίων, ἐν οἷς κυρίως καὶ πρώτως τὸ ζῶον ὑγιεινὸν λέγεται, τὰ λοιπὰ δὲ, ἐφ' ὅσον ἀνήκει ἐπὶ τὴν ὑγίειαν τοῦ ζώου, ὑγιεινὰ ἤκουσεν. οὕτως ἡ οὐσία ἐστὶ τὸ πρῶτον καὶ κυρίως σημαινόμενον τοῦ ὄντος, αἱ δὲ λοιπαὶ κατηγορίαι, οἷον Ποσότητες, Ποιότητες, καὶ ὅσ' ἄλλα ὄντα λέγονται, ἐφ' ὅσον ἐπὶ τὴν οὐσίαν ἀναφέρονται, καὶ εἰσὶν ἐκείνης ἐκτάσεις, καὶ πάθη, καὶ περιστάσεις. συνάγεται τοίνυν, ὅτι ὥσπερ καὶ τὸ ὑγιεινὸν, οὐ κατηγορεῖται συνωνύμως κατὰ πάντων τῶν λεγομένων



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μένων ὑγιεινῶν, ὅθεν οὐδὲ γένος ἐκείνων ἐστίν, οὕτω καὶ τὸ ὂν οὐ κατηγορεῖται συνωνύμως κατὰ πάντων τῶν τοῦ ὄντος γενῶν. διὸ οὐδὲ γένος ἐστὶ τῶν αὐτῶν.

## Περὶ τοῦ ἀριθμοῦ τῶν τοῦ ὄντος γενῶν.

Ἀμφισβητοῦσι δὲ οὐκ ὀλίγοι, εἰ ἀποχρῶσα ἐστίν, ἡ τῶν ὄντων ἐνταῦθα διαίρεσις. ὧν οἱ μὲν πλεονασμὸν ἐγκαλοῦσιν, οἱ δὲ ὡς ἐλλιπῆ καταμέμφονται. φαίνεται γὰρ ὁ Φιλόσοφος ἐν διαφόροις τόποις ἀπαριθμῶν τὰς κατηγορίας, ἐλάττω ἀποδιδέναι τοῦ δεκαδικοῦ ἀριθμοῦ. πολλάκις γὰρ τὸ Ἔχειν, καὶ τὸ Κεῖσθαι ὑπὸ τούτου καταλιμπάνεται. αἴτιον δέ, ὅτι οὐ πανταχοῦ πρόκειται αὐτῷ ἡ ἀκριβὴς ἀπαρίθμησις τῶν τοῦ ὄντος γενῶν. ἔστι δὲ οὐκ ἄλλος ἀριθμὸς ἀληθέστερος, ἢ ὁ δεκαδικός. ὃν ἐπί τε τοῦ παρόντος, κἀν τῷ πρώτῳ τῶν Τοπικῶν κεφαλαίῳ ἐννάτῳ ἀκριβῶς παραδίδωσιν ὁ Φιλόσοφος, οἵ τε ἐξηγηταὶ τούτου Συμπλίκιός τε καὶ Ἀμμώνιος, καὶ οἱ λοιποὶ ἀποδέχονται. ἀλλὰ καὶ ἀπὸ τῆς διαιρέσεως τοῦ ὄντος τοῦτον συνάξαι δυνάμεθα τρόπῳ τοιῷδε. τοῦ ὄντος, τὸ μὲν ἐστὶν αὐθύπαρκτον καὶ οὐδενὸς ἑτέρου δεόμενον πρὸς σύστασιν, ὡς ἡ Οὐσία. τὸ δὲ ἐν ἄλλῳ τὸ εἶναι ἔχει, ὅπερ ἐστὶ Συμβεβηκός. καὶ ἡ μὲν Οὐσία συνίστησι τὴν πρώτην κατηγορίαν, ἥτις κυρίως καὶ καθ' αὑτὸ ὂν λέγεται. ἀφ' ἧς καὶ αἱ λοιπαὶ ἐννέα κατηγορίαι τὸ ὄντα λέγεσθαι ἔχουσι. πάλιν δ' αὖ τοῦ Συμβεβηκότος, τὸ μὲν ἐστὶν ἀπόλυτον, ἤτοι ἄσχετον, τὸ δὲ σχετικὸν καὶ πρὸς ἄλλο ἀναφερόμενον. καὶ εἰ μὲν ἀπόλυτον εἴη, ἢ ἀπὸ τῆς ὕλης προέρχεται συμπαρομαρτοῦν ἐκείνῃ, καὶ ἀχώριστον καθ' ἑαυτὸ ἀπ' ἐκείνης τυγχάνον, ὅπερ ἐστὶν ἡ Ποσότης. ἢ ἀπὸ τοῦ Εἴδους προέρχεται καὶ τῷ Εἴδει κατακολουθεῖ ἀχώριστον ἐκείνου τυγχάνον, καὶ τοῦτο ἐστὶν ἡ Ποιότης. εἰ δὲ σχετικὸν ᾖ, ἢ κυρίως καὶ φύσει ἐστὶ πρὸς ἄλλο ἀναφερόμενον, ἢ μὴ κυρίως. καὶ εἰ μὲν κυρίως καθ' αὑτὸ εἴη, τὴν κατηγορίαν τῶν σχετικῶν ἀποτελεῖ· καὶ ταῦτα εἰσὶ τὰ τέσσαρα κυριώτερα γένη τοῦ ὄντος. τὸ δὲ μὴ καθ' αὑτὸ σχετικόν, διαιρεῖται καὶ ἀναπληροῖ τὰς λοιπὰς ἓξ τῶν κατηγοριῶν μέχρι τοῦ δεκαδικοῦ ἀριθμοῦ. ταῦτα δὲ τὰ λοιπὰ ἕξ, ἧττον κύρια γένη τοῖς λογικευομένοις ἀποκαλοῦνται, διὰ τὸ ὑπάγεσθαι τρόπον τινὰ ὑπὸ τὰ σχετικά. εἰ γὰρ καὶ ὡς ἀπόλυτα ληφθείη, ἀλλ' οὐκ ἄνευ σχέσεως ἐννοεῖται. θεωρεῖται γὰρ ἐφ' ἑκάστου τούτων ἡ Οὐσία μετὰ σχέσεως πρὸς ἕτερόν τι τῶν ἐκτὸς ταύτης. θεωρουμένη γὰρ ὡς ἐν χρόνῳ οὖσα ἀποτελεῖ τὸ Ποτέ, ὡς δὲ ἐν τόπῳ τὸ Ποῦ, κατὰ δὲ τὴν ἐν τόπῳ θέσιν, τὸ Κεῖσθαι, καὶ ὡς μὲν κινοῦσα τὸ Ποιεῖν,

ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς δὲ κινουμένη τὸ Πάσχειν. καθὸ δέ τις ἑτέρα περὶ ἑτέραν οὐσίαν θέσιν ἔσχηκε, τὸ Ἔχειν ἀποτελεῖται. δῆλον οὖν, ὅτι τῆς οὐσίας σχετικῶς πρὸς ἕτερα θεωρουμένης ἀποτελοῦνται αἱ ἓξ ὕστεραι τῶν κατηγοριῶν. ἐξ ὧν ἡ μὲν Ποτὲ, (1) καὶ ἡ Ποῦ θεωροῦνται κατὰ τὴν σχέσιν τῆς ἐν τῇ Οὐσίᾳ ποσότητος. ἡ δὲ Ποιεῖν, καὶ Πάσχειν κατὰ τὴν σχέσιν τῆς ἐν τῇ οὐσίᾳ ποιότητος. τινὲς δὲ καὶ τὸ Ἔχειν, καὶ τὸ Κεῖσθαι ἐπὶ τὴν σχέσιν τῆς ἐν τῇ Οὐσίᾳ ποσότητος ἀναφέρουσιν. ἔστι δὲ ὡς ἐν τύπῳ εἰπεῖν Οὐσία, οἷον Σωκράτης, Ποσὸν δὲ, οἷον τρίπηχυς. Ποιὸν δὲ, οἷον Φιλόσοφος, φαλακρός. Πρός τι δὲ, οἷον υἱὸς Σωφρονίσκου. Ποῦ δὲ, οἷον ἐν Λυκείῳ. Ποτὲ δὲ, οἷον χθὲς, πέρυσι. Κεῖσθαι, οἷον ἵσταται, κάθηται, Ἔχειν, οἷον ὑποδέδεσθαι. Ποιεῖν, οἷον ῥητορεύειν. Πάσχειν, οἷον τύπτεσθαι, καὶ τὰ ὅμοια. ταῦτα δὲ πάντα δυνατὸν ἐφ' ἑκάστης οὐσίας εὑρεῖν, καὶ μάλιστα ἐπ' ἀνθρώπων, περὶ ὧν κατὰ μέρος ἐροῦμεν ἀπὸ τῆς οὐσίας ἀρξάμενοι.

(1) Ἡ οὐσία ὡς ἐν χρόνῳ οὖσα σχέσιν ἔχει πρὸς τοῦτον, καὶ ἀποτελεῖται τὸ Ποτὲ, καθὸ δὲ ἐν τόπῳ, ἡ Ποῦ. ὅτι δὲ τῇ ποσότητι ὑπάγονται τό, τε Ποῦ καὶ Ποτὲ, δῆλον ἐκ τῆς τοῦ Φιλοσόφου λέξεως ἀπαριθμοῦντος τὰ εἴδη τοῦ ποσοῦ γραμμὴν, ἐπιφάνειαν, καὶ σῶμα, καὶ παρὰ ταῦτα φησὶ τόπος καὶ χρόνος, ὧν τοῦ μὲν τὸ Ποτὲ, τοῦ δὲ τὸ Ποῦ.

Τοῦ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006